# ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

**Περὶ τῆς τοῦ Θεοῦ Λόγου ἐνσάρκου οἰκονομίας· ὅτι αὐτὸς f 256v ὁ Υἱὸς τοῦ Θεοῦ ἐσαρκώθη ἐκ τῆς ἁγίας Παρθένου, σάρκα προσλαβὼν ἐξ αὐτῆς ἔμψυχον, ἤτουν ἔχουσαν ψυχὴν λογικὴν καὶ νοεράν, φυλάξας τε ἐν ἑαυτῷ ἑκατέρας τὰς φύσεις ἀφύρτους καὶ ἀδιαιρέτους μετὰ τῶν ἰδιωμάτων αὐτῶν καὶ μετὰ τὴν ἕνωσιν.**

Ἄρτι τοῦ νομικοῦ χειμῶνος ἀπαλλαγέντας καὶ πρὸς τὸ ἔαρ τῆς ἀληθείας καταντήσαντας, οὐδὲ οὕτως ἡμᾶς δεῖ ἀμελεῖν, ἀλλὰ νήφειν πάντοτε καὶ ἐγρηγορέναι, ἵνα μὴ τῶν θηρίων καὶ ἑρπετῶν καὶ πετεινῶν τῶν ἰδίων τρωγλῶν καὶ χηραμῶν καὶ σκηνώσεων ἐξελθόντων, λυμανθῶσιν ἡμῶν οἱ καρποὶ ἀκμὴν ἄωροι ὄντες. Εἰσὶ γὰρ ἐνταῦθα λογικὰ θηρία, ἤτουν ὄναγροι καὶ ἄρκτοι καὶ λύκοι καὶ ἀλώπεκες ἀναλόγως ὄρνεά τε νοητὰ καὶ στρουθία σπαράσσοντα καὶ διαλυμαινόμενα τὴν εὐσέβειαν, ἃ δεῖ ἐλαύνειν ὥς τινι τριπλόκῳ σφενδόνῃ τῇ συμμαχίᾳ τοῦ Ἁγίου Πνεύματος. Διόπερ ἅπασαν τὴν μέριμναν ἀφέντες ἐπὶ τὸν εἰπόντα Κύριον «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν», εἰς δόξαν μὲν τῶν ὀρθῶς φρονούντων, εἰς αἰσχύνην δὲ τῶν κακῶς δοξαζόντων κατὰ f 257r Χριστοῦ, ἀρξώμεθα διηγήσασθαι || τὰ ἀπόρρητα θαυμάσια τῆς αὐτοῦ θείας καὶ ἐνσάρκου σωτηριώδους οἰκονομίας, ὥς οἷόν τε ἡμῖν, ἣν πάλαι προφῆται προηγόρευσαν, θείῳ κινούμενοι πνεύματι. Εἰ δέ τινες τῶν αἱρετικῶν τούτους οὐ δέχονται διὰ τὸ πάντῃ ἀποπλανηθῆναι καὶ παρατραπῆναι τῆς εὐθείας ὁδοῦ καὶ διὰ τὸ στῆσαι τὴν σφετέραν δόξαν ὡς μηκέτι ἐλεγχομένην ὑπ᾿ αὐτῶν, ἀλλ᾿ ἡμεῖς γε τῇ ἀληθείᾳ χρώμενοι ἀποδείξομεν αὐτοὺς μὲν ἄκρως ληροῦντας, τοὺς δὲ προφήτας καὶ μάλα συμφωνοῦντας τῇ ἀληθείᾳ καὶ δι᾿ αὐτῶν λαλοῦν τὸ Πνεῦμα τὸ Ἅγιον. «Καθώς, γάρ φησιν, ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ᾿ αἰῶνος προφητῶν» καὶ τὰ ἑξῆς, καὶ ὁ Χριστὸς «εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί», καὶ «εἶπε Δαυὶδ ἐν Πνεύ-

[1]) Κῶδ. Βερ. (Phil. 1617) f. 256v—275r [13]) ἐν τῇ ᾤᾳ : θηρία μὲν τοὺς διαφόρους αἱρέσεων ἀρχηγούς, ὄρνεα δὲ καὶ στρουθία τοὺς κακίστους δαίμονας δεῖ νοεῖν [17]) Ἰωάν. 15, 5. [22]) Ἐν τῇ ᾤᾳ : κατὰ Παυλικιανῶν καὶ Βογομίλων [27]) Λουκ. 1, 70 [28]) Ἰωάν. 5, 46

[11]) χειραμῶν Β

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ματι Ἁγίῳ», καὶ πάλιν «καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν» καὶ τὰ ἑξῆς. Καὶ ὁ Παῦλος ἀπαριθμῶν τῶν πάλαι δικαίων ἀνδρῶν τὰς ἀριστείας φησίν· «ἐπιλείψει με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψὼν καὶ Ἰεφθάε, Δαυίδ τε καὶ Σαμουὴλ καὶ τῶν Προφητῶν». Ἀλλ᾽ εἰρήκαμεν καὶ περὶ τούτων ἐν τῇ πρὸ ταύτης ὁμιλίᾳ καὶ οὐ χρὴ ὑπερεκτείνειν τὸν λόγον. Νῦν δὲ ἐπ᾽ αὐτὰς βῶμεν τὰς φωνὰς τῶν προφητῶν, ‖ προκαταγγειλάσας ἡμῖν f 257v τὴν τοῦ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν παρουσίαν καὶ σάρκωσιν.

Τριῶν τοίνυν ζητουμένων περὶ Χριστοῦ, εἰ ἔρχεται, εἰ ἤδη ἦλθε, καὶ εἰ Θεὸς ὁ ἐλθών, περὶ μὲν τοῦ πρώτου οὐ δεῖ ἐξετάζειν. Καὶ αὐτοὶ γὰρ οἱ τῆς ἀληθείας ἐχθροὶ ὁμολογοῦσιν, ὅτι πάντως ἥξει. Περὶ δὲ τῶν ἄλλων δύο, δέον ἐστὶν ἀποδεῖξαι αὐτοὺς σφαλλομένους. Ἡμῶν τοίνυν λεγόντων ὅτι ἦλθε, καὶ τοῦτο δεικνύντων ἀπὸ πολλῶν, πρῶτον μὲν ἀπὸ τῶν σημείων ὧν ἐποίησε, καθώς φησι Ἡσαΐας, «τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἁλεῖται ὥσπερ ἔλαφος ὁ χωλὸς καὶ τρανὴ ἔσται γλῶσσα μογγολάλων»· δεύτερον ἀπὸ τοῦ ἐξ αὐτοῦ καταλυθῆναι τὴν πολυθεΐαν, ὡς Σοφονίας λέγει, «ἐπιφανήσεται Κύριος ἐπ᾽ αὐτούς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν ἀπὸ τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ»· τρίτον ἀφ᾽ ὧν λέγει Δανιήλ· αἱ γὰρ ἑβδομήκοντα ἑβδομάδες τῶν ἐτῶν, ὡς ἔφη αὐτῷ ὁ ἄγγελος, εἰ ἀφ᾽ οὗ χρόνου δεῖ ἐκλάβει τις αὐτάς, εἰς τοὺς χρόνους Χριστοῦ κατσλήγουσι· τέταρτον ἀπὸ τῆς προφητείας Ἰακώβ, λέγοντος «οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ‖ ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ f 258r αὐτὸς προσδοκία ἐθνῶν». Τοῦτο σαφὴς ἔλεγχος, ἤτουν ἀπόδειξις τῆς Χριστοῦ παρουσίας. Ἕως γὰρ Χριστοῦ εἶχον οἱ Ἰουδαῖοι ἡγεμόνας ἐκ τῆς φυλῆς Ἰούδα καταγομένους· εἰ γὰρ καὶ ἀρχιερεῖς ὑπῆρχον, ἀλλὰ πολλάκις κατὰ διαφόρους καιροὺς ἐπεμίγη ἡ ἱερατικὴ φυλὴ τῇ ἐξ Ἰούδα. Μέχρις οὖν Χριστοῦ ἡ ἐξ Ἰούδα ἡγεμονία διήρκεσε, καταντήσασα εἰς αὐτὸν τὸν Χριστόν, βασιλεύσαντα ἐπὶ τὰ ἔθνη, ὥς φησιν ὁ τούτου προπάτωρ Δαυὶδ «ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη». Ἐκ γὰρ τοῦ γένους Δαυὶδ καὶ οὗτος κατήγετο κατὰ σάρκα, ὡς γέγραπται ἐν τῇ τῶν Βασιλειῶν καὶ τῇ τῶν Παραλειπομένων βίβλῳ. «Καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω

1) Μάρκ. 7, 6  3) Ἑβρ. 11, 32.  7) Ἐν ᾧα : κατὰ Ἰουδαίων καὶ Σαμαρειτῶν  14) Ἡσ. 35, 5  18) Σοφ. 2, 11  23) Γεν. 49, 10.  26) Σχόλιον ἐν τῇ ᾧα : ἰστέον ὅτι εἰ καὶ ἐν εὐδαίμονι Ἀραβίᾳ ἦρξε ποτέ τις ἰουδαΐζων Ἄραψ, ἀλλὰ τοῦτο οὐδέν ἐστιν  31) Ψαλμ. 46, 9  33) Β΄ Βασιλ. 7, 12 Παραλ. 17, 11.

τὴν βασιλείαν αὐτοῦ· αὐτὸς οἰκοδομήσει μοι οἶκον, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως αἰῶνος». Καὶ αὖθις. «Καὶ πιστώσω αὐτὸν ἐκ οἴκῳ μου καὶ ἡ βασιλεία αὐτοῦ ἕως αἰῶνος καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος ἕως αἰῶνος». Εἰ γὰρ καὶ περὶ τοῦ Σολομῶντος τοῦτο δοκεῖ λελέχθαι, ἀλλ' ἡ βασιλεία || Σολομῶντος μέχρι τινὸς ἐκράτησεν, 258v οὐχ ἕως αἰῶνος. Λείπεται οὖν περὶ τοῦ Χριστοῦ εἰρῆσθαι τοῦτο, τοῦ νέου Σολομῶντος καὶ ὄντως εἰρηνικοῦ, τοῦ τὴν εἰρήνην παντὶ τῷ κόσμῳ βραβεύσαντος. Καθ' ἃ καὶ ἐν ψαλμοῖς γέγραπται· «ὤμοσα Δαυῒδ τῷ δούλῳ μου», καλῶς ὅτι καὶ μετὰ ὅρκου· τί ποτ' οὖν; «ἕως τοῦ αἰῶνος, φησίν, ἑτοιμάσω τὸ σπέρμα σου καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου», ἤτοι μέχρι τῆς τοῦδε τοῦ κόσμου συντελείας· καὶ πάλιν. «Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ»· ὡς καὶ ἐν ἑτέρῳ, «καὶ συμπαραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν» καὶ μετ' ὀλίγα τοιαῦτα, «καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς», καθὼς ἐπήγγελται δῆλον ὅτι τῷ Ἀβραάμ, καὶ ἐπάγει· «πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν»· τί λέγοντες; «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ» καὶ τὰ ἑξῆς. Διὰ τοῦτο καὶ ὁ Ἄγγελος εὐαγγελιζόμενος τῇ Παρθένῳ φησὶ περὶ τούτου· «καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ 259r τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας». || Ἀλλὰ βασιλείαν ἀκούων καὶ θρόνον, μή τινα αἰσθητὸν θρόνον καὶ βασιλείαν τυραννικὴν ὑποπτεύσῃς, ἀλλὰ τὴν αὐθαίρετον εἰς Χριστὸν ὑποταγὴν τῶν πιστευσάντων. Ἐπεὶ καὶ τὰ καθ' ἑξῆς λεχθέντα τῷ Ἰακώβ, ἤγουν «τὸ δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ», καὶ τὸ «πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ» καὶ τὰ τοιαῦτα, οὐ περὶ ταυτησὶ τῆς ἀμπέλου καὶ ὄνου καὶ τῶν τοιούτων εἰκός ἐστιν εἰρῆσθαι. Οἱ δὲ τὸν Ἡρώδην εἶναι λέγοντες τὸν προσδοκώμενον, εἰδέτωσαν ὅτι Ἡρώδης οὔτε ἐκ σπέρματος Δαυὶδ ἦν, ἀλλόφυλος γὰρ ἦν υἱὸς Ἀντιπάτρου τοῦ Ἀσκαλωνίτου, οὔτε ἡ βασιλεία αὐτοῦ αἰώνιος, οὔτε προσδοκία ἐθνῶν ἐγένετο. Εἰ οὖν μὴ δώσομεν ἐν τῷ Χριστῷ ταῦτα πεπληρῶσθαι, ἀναγκαζόμεθα κατειπεῖν τοῦ Θεοῦ καὶ τῶν θείων Γραφῶν.

Ἡμῶν οὖν, ὡς ἔφημεν, ταῦτα ἀποφαινόντων, ἰσχυρίζονται λέγοντες ὅτι οὐκ ἦλθε. Λέγει, γάρ φησιν, ὁ ψαλμὸς ὅτι «ἀνατελεῖ ἐν ταῖς 259v ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης»· || καὶ Ἡσαΐας. «Τότε

²) Β' Βασιλ. 7,16 ⁸) Ψαλμ. 88,4 ⁹) αὐτ. 5. ¹²) Αὐτ. 30 ¹⁴) Ψαλμ. 71,5 ¹⁵) αὐτ. 17 ¹⁷) αὐτ. 17 ¹⁸) αὐτ. 18 ¹⁹) Λουκ. 1, 32—33 ²⁴) Γεν. 49, 11 ²⁶) αὐτόθι ²⁸) ἐν τῇ ᾤᾳ: κατὰ Ἡρωδιανῶν ³⁴) Ψαλμ. 71, 7 ³⁵) Ἡσ. 11,6.

συμβοσκηθήσεται λύκος μετὰ ἀρνὸς καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ καὶ μοσχάριον καὶ λέων καὶ ταῦρος ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς». Νῦν δὲ οὐδὲν ὁρῶμεν τοιοῦτον γινόμενον. Ταῦτ᾽ οὖν καὶ ἕτερα τοιαῦτα ἐξ ἀγνοίας μᾶλλον δὲ πονηρίας προτείνονται. Διὸ οὐδ᾽ αὐτὸς εὐθὺς ἐπάξω τὴν λύσιν τῶν ζητουμένων, εἰ μὴ καὐτοί εἴποιέν μοι· πῶς καὶ τίνι τρόπῳ ἀλλαχοῦ Ἰακὼβ τοὺς υἱεῖς φησὶν περί τινων αὐτῶν· «σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης»· καὶ «ἐγενήθη τῷ Δαυὶδ ὄφις ἐφ᾽ ὁδοῦ καθήμενος ἐπὶ τρίβου δάκνων πτέρναν ἵππου»· «Νεφθαλεὶμ στέλεχος ἀνειμένον», καὶ «Βενιαμὶν λύκος ἅρπαξ». Ἆρα θηρία ἐγέννησεν Ἰακώβ, ὅτι περὶ τούτων οὕτω φησίν, ἢ φυτὰ ὡς καὶ Ἡσαΐας, ὃν προβάλλει, φησί, «καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσαὶ καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται», ἢ δῆλον ὅτι ἐκ τῆς πράξεως ἢ τοῦ τέλους ὁμοιωματικῶς τὰς τοιαύτας προσηγορίας ἐπάγουσιν; Εἰ οὖν ἐκ τῆς πράξεως ἢ τῆς γνώμης, οὐδὲν ἐναντίον λοιπὸν καὶ περὶ τῶν προταθέντων σοι τὰ ὅμοια ἐκλαβεῖν. Ἐπειδὴ διὰ τῆς κατ᾽ ἀρχὰς || παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ f 260r
τὸ τῶν ἀνθρώπων γένος εἰς μυρίας καὶ διαφόρους ἀτόπους πράξεις καὶ γνώμας καὶ θρησκείας σχισθὲν «παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὁμοιώθη αὐτοῖς», κατὰ τὸν θεῖον Δαυίδ, αὐτὸς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, σαρκωθεὶς ἐκ τῆς ἁγίας Παρθένου, τῆς τοιαύτης κατὰ προαίρεσιν καὶ ἄγνοιαν ἀλογίας καὶ θηριωδίας ἐρρύσατο, εἰς ἓν συνάψας διὰ τῆς εἰς αὐτὸν πίστεως καὶ τῆς τῶν αὐτοῦ ἐντολῶν φυλακῆς, νομῆς οὔσης ἀληθῶς ἀπλανοῦς. Περὶ ἧς φησι καὶ Δαυίδ. «Κύριος ποιμαίνει με, καὶ εἰς τόπον χλόης ἐκεῖ μὲ κατεσκήνωσεν». Ὅτι δὲ οὕτως ἔχει, τὸ ἐπαγόμενον δηλοῖ, ὅτι «ἐνεπλήσθη, φησίν, ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον». Παιδίον δὲ μικρὸν καλεῖ διὰ τὴν ἐν σαρκὶ κένωσιν· ὃς ἀνωτέρω φησὶ περὶ αὐτοῦ, ὅτι «παιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν», ὁ τοῦ Θεοῦ καὶ Πατρὸς δῆλον ὅτι, «οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ», ἤτοι ἐν ἑαυτῷ τὴν δεσποτείαν καὶ ἐξουσίαν κέκτηται, «καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος», ὡς ἀναγγείλας τῷ κόσμῳ τὴν τοῦ Πατρὸς ἀπόρρητον βουλήν, «θαυμαστὸς σύμβουλος», ὡς ἰσοδύναμος Θεῷ· καὶ ἐπάγει «Θεὸς ἰσχυρὸς» καὶ τὰ ἑξῆς. || Περὶ δὲ τοῦ ἐν Ψαλ- f 260v
μοῖς εἰρημένου οὕτω φαμέν, ὅτι δικαιοσύνη ἐξόχως ἐστίν, ὡς καὶ αὐτοὶ πάντως συμφήσουσι, εἰ μὴ ἔσχατοι μεμήνασιν ἢ καὶ ἐθελοκα-

[7]) Γεν. 49, 9 [8]) Γεν. 49, 17 [9]) Γεν. 49, 29, 27 [11]) Ἡσ. 11, 1.
[18]) Ψαλμ. 48, 12 [24]) Ψαλμ. 22, 1 [28]) Ἡσ. 9, 6.

[6]) εἴπωσί μοι Β΄

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κοῦσι, τὸ εἰδέναι ἕνα Θεὸν τὸν ποιητὴν τοῦ παντός, αὐτῷ τε προσάγειν λατρείαν ἅπασαν καὶ εὐχαριστίαν ὡς δημιουργῷ καὶ παντὸς ἀγαθοῦ χορηγῷ, ἀδικία δὲ καὶ τῶν ἀδικιῶν ἡ μεγίστη, τὸ τοῦτον μὲν καταλιπεῖν, ἅπαν δὲ τὸ σέβας καὶ τὰ Θεῷ προσήκοντα ἀπονέμειν τοῖς κτίσμασι τοῦ Θεοῦ καὶ τοῖς ἐχθροῖς αὐτοῦ δαίμοσιν. Ὅπου δέ ἐστιν ἀδικία, οὐδὲν ἄλλο προηγουμένως ἕπεται, εἰ μὴ ἔχθρα καὶ μάχη καὶ στάσις· ὥσπερ ἀμέλει, ὅπου δικαιοσύνη, εὐστάθεια κατὰ πάντα· ὅπερ προδήλως ἐπράχθη τοῦ Χριστοῦ πρὸς ἡμᾶς ἐνδημήσαντος, φιλανθέντων ἡμῶν τῷ Θεῷ διὰ τὴν αὐτοῦ ἐπίγνωσιν καὶ μηκέτι ἀντιπραττόντων ἢ ἀντιφερομένων αὐτῷ ἔν τινι, ὥς ποτε ἐξ ἀγνοίας ἐποιοῦμεν. Καὶ οὐ μόνον τοῦτο ἐν ταῖς ἡμέραις Χριστοῦ ἐτελέσθη, ἀλλὰ καί τι ἕτερον, τοῦ πρώτου μὲν κατὰ πολὺ ἔλαττον, ἀναγκαῖον δέ. Ὥσπερ γὰρ ἐπὶ
f 261r Θεοῦ ὑπάρχειν || πολυαρχίαν ἐπισφαλές, ὡς εἴρηται, οὕτω δὴ καὶ ἐπ' ἀνθρώπων ἀναλόγως· πάντως γὰρ ἀδικίαι καὶ ἁρπαγαὶ καὶ ἔχθραι καὶ ἐπαναστάσεις καὶ οὐδεμία ἡ εἰρήνη ἢ δικαιοσύνη· καθ' ἃ δὴ ὅπου μοναρχία, δῆλον ὅτι τὰ ἐναντία τῆς πολυαρχίας ἕπεται, ἤτουν ἀγάπη καὶ εἰρήνη καὶ ὁμόνοια. Συνέβη τοιγαροῦν καὶ τοῦτο ἐν ταῖς τοῦ Χριστοῦ ἡμέραις πραχθῆναι Αὐγούστου Καίσαρος μοναρχήσαντος ὅτε δῆτα καὶ ἡ ἀπογραφὴ γέγονεν. Ἕτερος δέ τις τῶν παλαιοτέρων ἀνδρῶν περὶ τῶν τοιούτων οὕτως ἀπελογήσατο. Ἡμεῖς δὲ πρὸς ταῦτα λέγομεν, ὅτι διττή ἐστιν ἡ παρουσία τοῦ Χριστοῦ, ἡ μὲν μετὰ δόξης, ἣν ὁ Δανιὴλ διέξεισι λέγων «εἶδον ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ ὡς υἱὸς ἀνθρώπου ἐπὶ τῶν νεφελῶν ἐρχόμενος ἦν· καὶ ἄχρι τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ αὐτῷ προσηνέχθη· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ ἐξουσία· καὶ αὐτῷ δουλεύσουσι πάντα τὰ ἔθνη» καὶ τὰ ἑξῆς· ἡ δὲ μετὰ ταπεινώσεως, περὶ ἧς λέγει Ἡσαΐας. «Καὶ εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων». Ὅταν οὖν εἴπῃ ὁ
f 261v ψαλμός, || ὅτι ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, τοῦτο λέγει ὡς πρὸς τὴν ἐν δόξῃ μέλλουσαν παρουσίαν αὐτοῦ. Ἐπεὶ ὅτι πάντως ἀνάγκη ἁμαρτίας γενέσθαι ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ τῆς πρώτης καὶ εὔδηλον ἐντεῦθεν. Ἐρωτῶ γὰρ αὐτούς, ἰδίῳ θανάτῳ ἀποθανεῖται ὁ Χριστὸς ἐρχόμενος εἰς τὸν κόσμον ἢ ἄλλοι αὐτὸν φονεύσουσιν; Ἐροῦσι δέ, ὅτι ἄλλοι αὐτὸν φονεύσουσιν. Τί δέ, ὁ τοιοῦτον μέγαν ἄνθρωπον ἀποκτείνων, οὐ μεγάλως ἁμαρτάνει; Πάντως φήσουσιν, ὅτι ναί. Οὐκοῦν, εἰ ταῦτα οὕτως ἔχει, ἀνάγκη πάντως ἁμαρτίας γενέσθαι ἐπὶ τῆς τοῦ Χριστοῦ πρώτης παρουσίας. Ὥστε ὁ ψαλμὸς ἐπὶ τῆς δευ-

**22) Δαν. 7, 13  26) Ἠσ. 53, 2**

**2) εὐχαριστείαν B  32) ἀποθανεῖτε B  35) ἀποκτένων B**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τέρας τοῦ Χριστοῦ παρουσίας τοῦτο λέγει. Ἄλλως τε δὲ καὶ ἀλλαχοῦ φησὶν ὁ ψαλμός, «κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»· δηλοῖ γὰρ ὅτι ἔσχεν ἐχθρούς· ὅπου δὲ ἔχθρα, οὐκ ἔστιν εἰρήνη. Καὶ ταῦτα μὲν τῆς παρουσίας Χριστοῦ.

Περὶ δὲ τοῦ εἰ Θεὸς ὁ ἐλθών, ὅπερ ἦν τὸ τρίτον ζητούμενον, διατείνονται μὴ εἶναι Θεὸν ἀφ' ὧν εἶπε Μωϋσῆς, «προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ», μὴ εἰδότες ὅτι Θεὸν καὶ ἄνθρωπον αὐτὸν οἱ προφῆται ἀνακηρύττουσιν. Ὅτι δὲ καὶ Θεὸς ἐστι, ῥάδιον ἦν ἀπὸ τῆς νέας Γραφῆς τοῦτο αὐτοῖς δεῖξαι, ἀποδείξαντες ὅτι ἦλθε. Πλὴν καὶ ἀπὸ ‖ τῆς παλαιᾶς τοῦτ' ἀποδείξομεν ἐναργῶς. Λέγει γοῦν Ἱερεμίας· «Οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται f 262r ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης», ἤτοι τὸν γραπτὸν νόμον, «καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ δὲ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη». Σύνες οὖν, ὦ ἀσυλλόγιστε, ὅτι αὐτός ἐστιν ὁ πάλαι ἐν Σινᾷ καὶ νῦν ἐν Σιὼν νομοθετήσας, ὥς φησι Μιχαίας καὶ Ἡσαΐας, «Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ». Ὁ δὲ Ἡσαΐας αὖθις, καίτοι ἕτερον πρὸς τούτοις αἰνίττεται, λέγων «Ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς». Αἰνίττεται γὰρ ὅτι μετὰ κρίσεως καὶ δικαιοσύνης ἔσωσεν ἡμᾶς ἐκ τῶν χειρῶν διαρπάσας τοῦ τυραννήσαντος. Ἔδει γὰρ ὡς κριτὴς δίκαιος μὴ τῇ δυναστείᾳ καὶ ἐξουσίᾳ τοσούτῳ χρήσασθαι ὡς τῇ δικαιοσύνῃ. Τοῦτο δ' ἦν τὸ σάρκα ἀναλαβεῖν, ἵνα διὰ τῆς ἀπατηθείσης καὶ νικηθείσης σαρκὸς αὖθις νικηθήσεται ὁ ἀπατήσας διὰ τοῦ ὄφεως καὶ κρατήσας τοῦ βασιλείου πλάσματος. Ἀλλ' οὕτω μὲν ὡς σοφὸς καὶ δίκαιος τὸν Σατανᾶν ἐχειρώσατο, καὶ ὡς ἀγαθὸς οὐχ ὑπερεῖδε τὸ ἴδιον πλάσμα ὑπ' αὐτοῦ τυραννούμενον, ὡς δὲ δυνατὸς ἔμεινεν αὖθις Θεὸς μετὰ τῆς προσληφθείσης σαρκός. Ὁ δὲ Μιχαίας καὶ τὸν ‖ τόπον αὐτόν, καθ' ὃν ἐγεννήθη ὁ Χριστός, ἀκριβῶς f 262 v ἡμῖν ὑποδεικνύει, οὑτωσὶ φάσκων. «Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά, μὴ ὀλιγοστὸς εἶ σὺ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ». Ἵνα δὲ διδάξῃ ὅτι οὐκ ἔστιν ἄνθρωπος ψιλὸς οὗτος, ἀλλ' ἡνωμένος θεότητι, προσέθηκεν. «Αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος», ἤγουν αἰώνιοι. Ταῦτα τοιγαροῦν καὶ τὰ τοιαῦτα διδάσκουσιν ἡμᾶς Θεὸν εἶναι

²) Ψαλμ.109,1 ⁶) Δευτ.18,15 ¹¹) Βαρ.3,35—37 ¹⁷) Ἡσ. 2,3 ¹⁹) Ἡσ.25,9
³⁰) Μιχ. 5,2 ³⁴) Αὐτ. 2



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸν παραγενόμενον Χριστόν. Ἐπεί, εἰ μὴ Θεός, ὑπὸ κατάραν εἰσὶν οἱ εἰς αὐτὸν ἔχοντες τὰς ἐλπίδας. Καὶ ἐκ τῶν ῥηθησομένων αὖθις ἀποδειχθήσεται· φησὶ γὰρ Ἡσαΐας. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν». Ὁ δὲ Ἱερεμίας αὖθις, «ἐπικατάρατος ἄνθρωπος, φησί, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον». Ἀλλὰ δῆλον, ὅτι Θεὸς ἐστιν ἀληθινός, ὡς ἀποδέδεικται. Καὶ πῶς ἔνι, φασί, δυνατὸν οἱ τῇ καρδίᾳ ἀπερίτμητοι, ἵν' οὕτω προφητικῶς εἴπω, ἀπερίγραπτον ὄντα τὸν Θεὸν καὶ ἀπεριόριστον νηδύϊ περιληφθῆναι καὶ ταῦτα Παρθένου, ἐξ αὐτῆς τε λαβεῖν σάρκα περιγραπτὴν καὶ τρεπτὴν καὶ μηδὲν οὖσαν πρὸς τὸ αὐτοῦ μέγεθος; Ἀλλὰ καὶ τοῦτο σύνες, ὦ σκληροκάρδιε σὺ καὶ φιλόνικε, κατὰ τὸν θεῖον Ἰεζεκιήλ, ὅτι συγκατάβασις ἦν τὸ τελούμενον καὶ τῆς f 263r αὐτοῦ ἀγαθότητος καὶ κηδεμονίας ἄξιον. || Ἔδει γὰρ τὴν συντριβεῖσαν εἰκόνα ὑπὸ τοῦ ἀρχεκάκου ἐχθροῦ ὅπως ἐν ἑαυτῷ προσλαβόμενος ἀναπλάσῃ ὁ πλάστης, ἡ εἰκὼν τοῦ ἀοράτου καὶ ἀνάρχου Πατρός. Ἔδει τὸν τοῖς ἀλόγοις ὑποκύψαντα πάθεσιν ὑπὸ τοῦ θείου Λόγου ἀνακληθῆναι καὶ εἰς τὴν ἀρχαίαν ἐπανελθεῖν εὐγένειαν. Ἔδει τὸν συντρίψαντα ὑπὸ τῆς συντριβείσης εἰκόνος ἀντισυντριβῆναι· οὐκ ἠδύνατο δὲ ἡ ἅπαξ παρ' αὐτοῦ κρατηθεῖσα. Διὰ τοῦτο, ὡς εἴρηται, ἄνθρωπος ὁ Θεὸς γίνεται, καθ' ἡμᾶς μὲν ὡς πάντα λαβὼν τὰ ἀνθρώπινα, τουτέστι σάρκα ἐμψυχωμένην καὶ τὰ ταύτης ἰδιώματα, ὑπὲρ ἡμᾶς δὲ ἅτε ἐκ Παρθένου καὶ Πνεύματος Ἁγίου. Καὶ μὴ σὲ πτοείτω ἡ τοῦ χοὸς σμικρότης καὶ εὐτέλεια, ἀκούοντα παρὰ τῆς θείας Γραφῆς, ὅτι καὶ μικρὸν δένδρον πάλαι ἐπὶ Ἀβραὰμ τοῦτον ὑπεδέξατο τὸν ἀχώρητον. Ὅση δὲ ἡ διαφορὰ μέσον ἀψύχου φυτοῦ καὶ ἀνθρώπου κατ' εἰκόνα Θεοῦ πλασθέντος, περιττὸν εἰπεῖν. Φέρει δὲ πρὸς τοῦτο εἰκόνα τινὰ καὶ παράδειγμα καὶ ἡ φύσις ἡ ἡμετέρα. Τῷ μὲν γὰρ σώματι ἐν μιᾷ γωνίᾳ πολλάκις ἐσῶτες, τῇ ψυχῇ, ἅτε νοερᾷ οὔσῃ, καὶ τὰ κατὰ τὸν αἰθέρα πολυπραγμονοῦμεν. Ταῦτ' οὖν ἐννοῶν μὴ πολυπραγμόνει τὸ ὑπὲρ κατάληψιν ὄντως μυστήριον, || ἵνα μὴ καὶ φρενῶν ἔξω πέσῃς, f 163v ἐρευνῶν τὰ ὑπὲρ τὴν σὴν δύναμιν. Τί δὲ καὶ ἄπιστον, εἰ παρθένος τέτοκε, ὅπου γε καί τινα τῶν ζῴων οὕτως ἄνευ συνουσίας λέγεται συλλαμβάνειν, ἀλλὰ δὴ καὶ στεῖραι ἄνικμοι παραδόξως πολλάκις ἔτεκον, καίπερ δύο ὄντων ἐκεῖ τῶν κωλυμάτων, στειρώσεως καὶ γήρως.

[a]) Ἡσ. 11.10 [b]) Ἱερ. 17,5. [33]) Ἐν τῇ ᾠᾳ : ἄνικμοι δὲ ἐνταῦθα εἴρηται, ἐπεὶ ὥσπερ ξύλον ξηρὸν ἀνεπιτήδειον εἰς μετακεντρισμόν, οὕτω καὶ στεῖραι καὶ μᾶλλον ὑπέρακμοι εἰς κύησιν. [34]) Ὁμοίως ἐν τῇ ᾠᾳ: διὰ ταῦτο πολλαί ποτε γυναῖκες, ἐν ἀκμῇ μὲν οὖσαι τοῦ κύειν οὐ συνελάμβανον, μετὰ δὲ

ΙΩΑΝΝΙΝΑ 2006

ἐνταῦθα δὲ μόνης τῆς παρθενίας; Ἄλλως τε ἔδει Θεοῦ σαρκουμένου, παράδοξον εἶναι καὶ τὴν σύλληψιν ὁμοῦ τε καὶ γέννησιν. Διὰ τοῦτο καὶ Ἡσαΐας φησί. «Δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός». Οἱ οὖν ἐξ ἰδίας ὑπερηφανίας μὴ στέργοντες τὰ παρὰ τῇ θείᾳ Γραφῇ πεπραγμένα, ἀλλ' ἐρευνᾶν ἐπιχειροῦντες τὸν τρόπον τῆς θείας σαρκώσεως, τὴν οἰκείαν σωτηρίαν ἐξ ἑαυτῶν ἀπωθοῦνται. Ἀλλ' ἵνα μηδὲν εἶδος φιλονικίας αὐτοῖς ἀπολίποιτο, καὶ τοῦτό φασι. Πῶς οὐχ ὥσπερ ὑπὲρ ἀνθρώπων ἄνθρωπος ἐγεγόνει Θεός, οὕτω καὶ ὑπὲρ τῶν πεπτωκότων ἀγγέλων ἄγγελος; Ἔδει οὖν, ὡς εἶπον, τὰ ἔξω τῆς ἡμετέρας γνώσεως καὶ μόνῳ Θεῷ ληπτὰ καὶ γνωστὰ μὴ πολυπραγμονεῖν. «Τίς γὰρ ἔγνω νοῦν Κυρίου, κατὰ τὴν Γραφήν, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;» ‖ Ἀλλ' ἵνα μὴ πρόφασιν δῶμεν τοῖς βουλομένοις Θεοῦ κατηγορεῖν, σύν- f 264r τομον ποιησόμεθα καὶ τὴν ὑπὲρ τούτου ἀπολογίαν. Ἀντελάβετο τοίνυν ὁ Θεὸς τοῦ ἀνθρωπείου γένους, τοῦ δὲ δαιμονίου ἥκιστα, ὅτι ὁ μὲν ἄνθρωπος ἠπατήθη ὑπὸ τοῦ διαβόλου, ἄγγελοι δὲ οὐχ ὑπό τινος, καὶ ὅτι ἄνθρωπος, ἅτε σύνθετος ὢν καὶ σώματι περικείμενος ὑλικῷ καὶ εὐκινήτῳ εἰς ἁμαρτίαν, μετανοῶν αὖθις εἰσδέχεται, ἄγγελοι δὲ ἁπλοῖ ὄντες καὶ ἐξ αὐτῆς τῆς εἰς τὸ εἶναι παραγωγῆς τὴν ἀφθαρσίαν ἔμφυτον λαβόντες, γνώμῃ δὲ αὐθαιρέτῳ τῆς οὐρανίου ἁψῖδος κατολισθήσαντες δυσανάκλητοί εἰσιν. Ἀλλ' ὥσπερ ἄνθρωποι μετὰ θάνατον μετανοεῖν οὐ δύνανται, οὐδὲ γὰρ ἐνδέχεται, οὕτω καὶ δαίμονες μετὰ τὴν ἐξ οὐρανοῦ πτῶσιν· τοῦτο γὰρ αὐτοῖς θάνατος. Ἀλλ' ἴωμεν σὺν Θεῷ ἐπὶ τὴν ἀφήγησιν τῆς τοῦ Θεοῦ Λόγου σαρκώσεως, ἅπαντα καθ' εἱρμὸν τὰ μεταξὺ παρεμπίπτοντα σαφηνίζοντες.

Τῷ ἕκτῳ οὖν μηνὶ μετὰ τὸ συλλαβεῖν τὴν Ἐλισάβετ τὸν τοῦ Κυρίου πρόδρομον ἀπεστάλη ὁ ἀρχάγγελος Γαβριὴλ πρὸς τὴν παρθένον Μαρίαν, φέρων αὐτῇ τὰ εὐαγγέλια τῆς τοῦ θείου Λόγου κυήσεως. Συνέλαβε δὲ Ἐλισάβετ τῇ τρίτῃ καὶ εἰκάδι τοῦ ‖ Γορπιαίου μηνός. Τῇ γὰρ εἰκοστῇ δευτέρᾳ τοῦ αὐτοῦ μηνὸς εὐηγγελίσθη Ζαχαρίας τὴν τοῦ f 264v Ἰωάνου σύλληψιν ὑπὸ τοῦ Γαβριὴλ κατὰ τὴν ὥραν τοῦ θυμιάματος, ὡς ἱστορεῖ τὸ ἱερὸν Εὐαγγέλιον. Ἡ δὲ Παρθένος τῇ πέμπτῃ καὶ εἰ-

**τὴν ἀκμὴν ἔκυον, ἵνα γνῷς ὅτι τὸ πᾶν τοῦ Θεοῦ ἐστιν, οὐ τῆς φύσεως [3]) Ἡσ. 7,14. Ματθ. 1,23 [32]) Ἐν τῇ ὥρᾳ: ἰστέον ὅτι ἐκτὸς τοῦ καταπετάσματος ἦν τὸ θυσιαστήριον τοῦ θυμιάματος, ἐφ' ὃ καθ' ἑσπέραν καὶ πρωῒ ὁ ἱερεὺς ἐθυμία· ἦν δὲ τότε ἡ ἐφημερία Ζαχαρίου ἡ ἑορτὴ τῶν σκηνῶν.**

Ε.Υ.Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κάδι τοῦ Δύστρου μηνὸς τὴν τοῦ Ἰησοῦ, οὖσα μεμνηστευμένη ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἵνα καὶ γάμος τιμηθῇ, ἐπείπερ ἀρχὴ γάμου μνηστεία, καὶ παρθενία προτιμηθῇ. Μέγα τι χρῆμα γὰρ ἡ παρθενία, περὶ ἧς καὶ Χριστὸς εἶπεν, «ὁ δυνάμενος χωρεῖν χωρείτω»· ἣν καὶ συνεζευγμένην ὁρῶμεν τῇ νηστείᾳ ἐν τοῖς Ἁγίοις. Καὶ γὰρ Μωϋσῆς ἐγκρατὴς γυναικὸς καὶ βρωμάτων γενόμενος τὸν νόμον θεόθεν ἐδέξατο καὶ αὐτὸν τὸν δόντα, ὡς δυνατὸν ἀνθρώπῳ, ἑώρακεν. Ἠλίας ἁγνείαν καὶ νηστείαν ποθήσας τὰς νεφέλας ἐκώλυσεν τοῦ μὴ βρέξαι μέχρι καιροῦ καὶ αὐτόπτης θείας δόξης καὶ θανάτου ἀνώτερος ἐγεγόνει καὶ ἑτέρων πλείστων καὶ μεγίστων θαυμάτων αὐτουργός. Ὡσαύτως ὁ δεύτερος Ἠλίας, ὁ τοῦ Χριστοῦ πρόδρομος δῆλα δή, δι' ὅλης αὐτοῦ τῆς βιοτῆς ἀμφοτέρων τῶνδε τῶν ἀρετῶν τὸν κόσμον περιεποιήσατο. Καὶ οἱ θεῖοι f 265r Ἀπόστολοι μέχρι τέλους ταύταις πρὸ πάντων προσεκαρτέρησαν· ‖ εἰ δὲ καί τινες αὐτῶν, τῶν Ἀποστόλων φημί, περιῆγον γυναῖκας ἐν τῷ κηρύγματι, ἀλλ' ὡς ὑπηρέτιδας καὶ ἀδελφάς, οὐχ ὡς γυναῖκας ἰδίας. Ὅτι δὲ οὕτως ἔχει, ἄκουσον τοῦ Παύλου λέγοντος. «Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ Ἀπόστολοι καὶ ἀδελφοὶ τοῦ Κυρίου καὶ Κηφᾶς;» Διὰ τὸ εἰπεῖν ἀδελφήν, τὴν ὑπόνοιαν τῆς σαρκικῆς μίξεως διεσκέδασε· τοῦτο δὲ βούλεται εἰπεῖν, ὅτι ἐξουσίαν μὲν ἔχομεν, διὰ δὲ τοὺς ἐντεῦθεν σκανδαλιζομένους οὐ περιάγομεν. Λέγει πάλιν ὁ αὐτὸς ἐν τῇ αὐτῇ ἐπιστολῇ· «καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἰδίαν γυναῖκα ἐχέτω καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω». Ἀλλ' οὕτω μὲν ἡ παρθενία ἀγγελοπρεπὴς καὶ ἀξιάγαστος, καὶ τολμῶ εἰπεῖν θεοειδής. «Εἰσελθών, δέ φησιν, ὁ ἄγγελος πρὸς τὴν παρθένον, ἤτοι εἰσελθὼν ἐν τῷ οἴκῳ ἐν ᾧ ἡ παρθένος, εἶπε· Χαῖρε, Κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ». Πῶς οὖν φασὶν οἱ αἱρετικοί, ὅτι οὐχ ὁ Κύριος ἐσαρκώθη; Πῶς Ἰησοῦς κληθήσεται, ὃ Σωτὴρ ἑρμηνεύεται; «Αὐτός, γάρ φησιν, σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ». Πῶς υἱὸς Ὑψίστου, εἰ ψιλὸς ἄνθρωπός ἐστιν; Πῶς τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται ‖ τέλος, 265v ὡς ἔφη ὁ ἄγγελος; Ἵνα δὲ μὴ τὸν ἄγγελον ὑποπτεύσῃς εἶναι τὸν συλληφθέντα, ἐπήγαγεν ὁ Εὐαγγελιστής· «καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος»· ὑπηρέτης γὰρ τοῦ μυστηρίου ἦν. Διὰ τοῦτο καὶ τὸν λόγον δι' ἕτερον ἐποιεῖτο πρὸς τὴν Παρθένον, οὐ δι' αὐτὸν ἐκεῖνον. Ἀκούων δὲ καὶ Πνεῦμα Ἅγιον καὶ δύναμιν Ὑψίστου εἶναι τὴν τὸ πᾶν ἐνεργοῦσαν, μὴ δίσταζε περὶ τῆς συλλήψεως λοιπόν. Κατιὼν δὲ μετὰ βραχέα ὁ Εὐαγ-

**4) Ματθ. 19,12 16) Α' Κορ. 9,5 21) Α' Κορ. 7,1 24) Λουκ. 1,28 27) ἐν τῇ ᾤᾳ: κατὰ Νεστοριανῶν καὶ Βογομίλων 28) Ματθ. 1, 21 32) Λουκ. 1, 38.**

Ε.Υ.Α. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γελιστὴς φησίν. «᾽Επλήσθησαν δὲ αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν». ῾Ημέρας δὲ ἐνταῦθά φησι πληρωθῆναι τοὺς ἐννέα δῆλον ὅτι μῆνας κατὰ τοὺς φυσικοὺς θεσμούς, ὡς καὶ περὶ τῆς ᾽Ελισάβετ προέλεξε «τῇ δὲ ᾽Ελισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν». ᾽Εξ ὅτου γὰρ συνέλαβε τὸν Κύριον ἡ ἁγία Παρθένος ἀφίκετο πρὸς ᾽Ελισάβετ ἐν τῇ ὀρεινῇ· κἀκεῖ τρεῖς μῆνας ποιήσασα, ἐπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς εἰς Ναζαρέτ. ᾽Εκ δὲ Ναζαρὲτ ἀνέβη αὖθις εἰς Βηθλεὲμ ἀπογραφῆναι μετὰ ᾽Ιωσήφ, ἐγγάστριον ἔχουσα τὸν Κύριον, ὥστε μεταξὺ τούτων πάντων παρελθεῖν τὸν ἐννεάμηνον χρόνον. Ταῦτα δὲ φημὶ διὰ τοὺς αἱρετικούς, οἵτινες οὐ κατὰ ἀλήθειαν, ἀλλὰ κατὰ φαντασίαν φασὶ παραγενέσθαι τὸν Κύριον, καὶ ὡς διὰ || σωλῆνος διελθεῖν τῆς f 266r Παρθένου. «᾽Εγένετο δέ, φησίν, ἐν τῷ εἶναι τὴν παρθένον Μαρίαν μετὰ τοῦ μνηστῆρος ᾽Ιωσὴφ ἐν Βηθλεὲμ καὶ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον». Πρωτότοκος δὲ λέγεται οὐ πρὸς ἕτερον ἀδελφόν, ἀλλ᾽ ὡς πρῶτος αὐτὸς γεννηθείς, κἂν μὴ μετὰ ταῦτα ἕτερος τόκος ἠκολούθησε. «Καὶ ἐσπαργάνωσε, φησίν, αὐτὸν καὶ ἀνέκλινεν ἐν τῇ φάτνῃ». Πρόσχες· αὐτὴ ἐγέννησε, αὐτὴ καὶ ἐσπαργάνωσε, μὴ δεηθεῖσα ἀλλοτρίας ὑπουργίας· ὥσπερ γὰρ ἀπαθὴς ἡ κύησις, οὕτω καὶ ἡ γέννησις ἄφθορος. Εἰσῆλθεν οὖν καὶ ἐξῆλθεν ὁ Λόγος, φυλάξας τὴν τεκοῦσαν παρθένον, σάρκα λαβὼν ἐξ αὐτῆς ἐμψυχωμένην, ἐνεργῆ τε καὶ θελητικήν, οὐκ ἐκ τῶν οὐρανῶν ταύτην καταβιβάσας· ἄπαγε τῆς τοιαύτης ἀτοπίας. Οὐκ ἔστιν ἐν τῷ οὐρανῷ σάρξ· ταύτην γάρ σου τὴν ὑπόνοιαν ἀποσκορακίζων ὁ ᾽Απόστολος ῾Ρωμαίοις ἐπιστέλλων φησί. «Παῦλος, δοῦλος ᾽Ιησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ ὃ προεπηγγείλατο ἐν γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα». ῾Εβραίοις δέ, «οὐ γὰρ δήπου ἀγγέλων || ἐπιλαμβάνεται, ἀλλὰ σπέρ- f 266v ματος ᾽Αβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι», ἤγουν ἡμῖν. Καὶ πάλιν, «πρόδηλον ὅτι ἐξ ᾽Ιούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν». Σκόπει τοιγαροῦν ἐνταῦθα, πῶς καὶ ἐκ τοῦ σπέρματος ᾽Αβραὰμ καὶ ᾽Ιούδα καὶ Δαυὶδ τὸν Κύριον κατὰ σάρκα ἀποδεικνύει, καθὼς καὶ οἱ Εὐαγγελισταί, καὶ κατὰ πάντα ἡμῖν ὅμοιον. ῾Ως ἐν αὐτῇ τῇ ἐπιστολῇ αὖθις φησίν· «οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ᾽ ὁμοιότητα χωρὶς ἁμαρτίας». ῎Εδει γὰρ τὴν συντριβεῖσαν

1) Λουκ. 2, 6 3) ἐν τῇ ᾠᾳ: κατὰ Μανιχαίων, ᾽Απολιναρίου, Οὐαλεντίνου καὶ ᾽Αρμενίων 8) Λουκ. 1, 57 12) αὐτ. 2,6—7 18) αὐτ. 7 22) ἐν τῇ ᾠᾳ: κατὰ τῶν αὐτῶν 24) Ρωμ. 1, 1—3 29) ῾Εβρ. 7,14 33) ῾Εβρ. 4, 15

Ε.Υ.Λ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φύσιν ὑπὸ τοῦ πονηροῦ καὶ ὅλην αὐτὴν ἀναλαβεῖν καὶ ἀναπλάσαι ἐν ἑαυτῷ, καὶ τὴν ἧτταν ἀνακαλέσασθαι. Διὰ τοῦτο καὶ ὁ Υἱὸς σαρκοῦται, καὶ οὐχ ὁ Πατήρ, οὔτε τὸ Πνεῦμα, ἵνα ὥσπερ ἄνω Υἱός, οὕτω καὶ κάτω Υἱὸς ὁ αὐτός, μὴ τραπέντος τοῦ ὀνόματος τοῦ σαρκωθέντος, ὁ Υἱὸς τοῦ Θεοῦ, αὐτὸς καὶ υἱὸς ἀνθρώπου γενόμενος. ⁵Ἡ γὰρ τοῦ Λόγου ὑπόστασις ἐν ἑαυτῇ ὑποστησαμένη τὴν σάρκα, ἤγουν σαρκωθεῖσα, μία ὑπόστασις ἀμφοτέρωθεν καὶ αὖθις ἔμεινεν σύνθετος. Καὶ κατὰ τοῦτο ἥνωται ὁ Θεὸς Λόγος τῇ ἀνθρωπότητι ἀσυγχύτως καὶ ἀδιαιρέτως, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, κατὰ τὸν Ἀπόστολον, καὶ μορφὴν δούλου ἔλαβε. Διὰ τοῦτο καὶ ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης φησί. «Καὶ
167r ὁ Λόγος σὰρξ ἐγένετο καὶ || ἐσκήνωσεν ἐν ἡμῖν», οὐ τραπεὶς δῆλον ὅτι τῇ θεότητι, ἄτρεπτον γὰρ τὸ θεῖον, ἀλλὰ σὰρξ ἐγένετο, τουτέστιν ἐσαρκώθη· ἢ ἀντὶ τοῦ ὁ Λόγος ἐγένετο καὶ σάρξ, ὡς καὶ τὸ ἔμπαλιν, ἡ σὰρξ γέγονε Θεὸς τῇ θεώσει καὶ ἄκρᾳ ἑνώσει· ὥσπερ καὶ σίδηρος ἀπρόσιτος καὶ ἄθικτος γίνεται πυρωθείς, μὴ μέντοι τῆς οἰκείας φύσεως καὶ ἐνεργείας ἐξιστάμενος. Εἰ δὲ μὴ σάρκα ἐξ ἡμῶν ἔλαβε, τίς ἡ χρεία τῆς Παρθένου; Πῶς δ' ἂν καὶ μήτηρ αὐτοῦ λογισθείη; Οὐ γάρ, ὥσπερ ἔφη ὁ Εὐαγγελιστής, ὅτι ἐνομίζετο εἶναι υἱὸς Ἰωσήφ, οὕτως ἐνομίζετο καὶ υἱὸς τῆς Παρθένου, ἀλλ' ὡς ἐξ αὐτῆς γεννηθείς. Ποίας δὲ ἄρα καὶ τῆς ἡλικίας, κατ' αὐτούς, ἐτύγχανε πρὸ τοῦ συλληφθῆναι ἐν τῇ γαστρὶ τῆς Παρθένου, εἰ σάρκα πρὸ τούτου εἶχεν ἐν τῷ οὐρανῷ; Εἰ σάρκα εἶχε, πόθεν ταύτην ἔλαβεν; Ἢ γὰρ καὶ τὸν Πατέρα σαρκοφόρον φήσουσι κατὰ τοῦτο ἢ ἑτερούσιον τῷ Υἱῷ. Ὅτι δὲ καὶ ἄτρεπτος ἔμεινε, καθὸ Θεός, καὶ σάρκα ἐπ' ἐσχάτων ἔλαβεν ἐκ τῆς Παρθένου, δηλοῖ καὶ τὸ ἑξῆς ἐπαγόμενον. «Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας». Εἰ γὰρ ἐτράπη ὁ Λόγος γενόμενος σάρξ, οὐκ ἂν ἔφη θεάσασθαι τὴν δόξαν αὐτοῦ δόξαν ὡς μονογενοῦς παρὰ πατρός. Εἶτα,
167v «Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ || καὶ κέκραγε λέγων· οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν, καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν», κοινωνοὶ δῆλα δὴ γεγονότες χάριτος θείας ἢ φύσεως· πλήρης γὰρ μόνος ὁ θεός, ὥς φησι διὰ Ἡσαΐου. Ἤκουσας τοίνυν πῶς ἔμπροσθεν αὐτοῦ ἦν κατὰ τὴν θεότητα, ὄπισθεν δὲ κατὰ τὴν ἀνθρωπότητα ὁ αὐτὸς Ἰησοῦς; Ἐξ

**5**) ἐν τῇ ᾤᾳ: κατὰ Νεστοριανῶν καὶ Παυλικιανῶν, δύο ὑποστάσεις ἀνὰ μέρος δοξαζόντων **10**) Ἰωάν. 1, 14. **17**) ἐν τῇ ᾤᾳ: κατὰ Ἀπολιναρίου καὶ Ἀρμενίων **23**) ἐν τῇ ᾤᾳ: κατὰ Μασαλιανῶν καὶ Βογομίλων, τρεπτὴν τὴν θείαν φύσιν δογματιζόντων **25**) Ἰωάν. 1,14 **29**) αὐτ. 15

**17**) ἑτεροούσιον B

ΙΩΑΝΝΙΝΑ 2006

γὰρ μῆνας προέλαβεν ὁ Ἰωάννης τὸν Ἰησοῦν κατὰ τὴν μητρῴαν σύλληψιν, ὡς ἔφημεν. Ταῦτα γοῦν καὶ ἕτερά εἰσι πλεῖστα ἔκ τε τῶν εὐαγγελικῶν ἔκ τε τῶν ἀποστολικῶν ῥήσεων ἀλλὰ δὴ καὶ τῶν προφητικῶν, δεικνύοντα ἡμῖν ἀριδήλως τὴν πρὸς ἡμᾶς συγκατάβασιν τοῦ θείου Λόγου, καὶ παριστῶντα σαφῶς τὴν αὐτοῦ θεότητα, ἃ οὐ δυνάμεθα νῦν εἰπεῖν, τῇ συντομίᾳ χρώμενοι. Ἵνα δὲ μὴ ἀκούσαντες οἱ ἐχθροὶ σάρκα ἀνειληφέναι τὸν Θεὸν Λόγον, ἄψυχον ταύτην ὑπολάβωσι, δέον καί ἕτερ' ἄττα προσθεῖναι. Λέγει οὖν ὁ ἄγγελος πρὸς Ἰωσήφ· «τεθνήκασιν οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου», καὶ ὁ Χριστὸς «νῦν ἡ ψυχή μου τετάρακται», καὶ πάλιν «περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου». Εἰ γὰρ ἄψυχον ἦν σῶμα, οὐκ ἂν ἐλυπεῖτο, οὐδὲ ἠδημόνει, οὐδὲ ἀπέθνησκε. Καὶ πάλιν, «πάτερ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμα μου». ‖ Ἐνταῦθα καὶ τὸ τῆς ἐξουσίας δείκνυται, ὅπερ ὡς f 268r Θεὸς ἔλεγεν, «ὅτι ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»· ὥσπερ γάρ τινα παραθήκην τῷ Πατρὶ παρέθετο, ἵν' ὅταν θελήσῃ, λάβῃ πάλιν αὐτήν. Δῆλον οὖν, ὅτι ἄλλου παραθήκη καὶ ἄλλος ὁ παραθέμενος καὶ ἄλλος ὁ ἀναλαμβάνων καὶ ἄλλο τὸ ἀναλαμβανόμενον. Ὁ δὲ Ἀπόστολος Πέτρος φησίν, ὅτι ἡ ψυχὴ αὐτοῦ οὐκ ἐγκατελείφθη εἰς Ἅδου, ὥσπερ δῆλον ὅτι αἱ τῶν λοιπῶν ἀνθρώπων ψυχαί, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Ἰδοὺ καὶ οὗτος ἀμφότερα ὡμολόγησεν ἔχειν τὸν Θεὸν Λόγον καὶ σάρκα καὶ ψυχὴν μάλα σαφέστατα. Ἀλλ' οὕτω μανθάνοντες παρὰ τῆς ἱερᾶς Γραφῆς ὅτι καὶ ψυχὴν ἔχει ὁ Χριστός, οὐκ ἄλογον ταύτην καὶ ἄνουν καὶ οἱονεὶ κτηνώδη ὁμολογοῦμεν. Ἐπεὶ οὐκ ἂν ἀνθρωπείαν κατὰ τοῦτο ἔλαβε ψυχήν. Καὶ πῶς κατὰ πάντα ἡμῖν ἔσται ὅμοιος, ὡς ἔφη ὁ Ἀπόστολος; Πῶς δὲ καὶ ἠδημόνει κατὰ τὸν καιρὸν τοῦ πάθους; Ἄλογος γὰρ ψυχὴ οὐκ ἀδημονεῖ, εἰ μὴ τὸν Θεὸν φήσουσιν εἶναι τὸν ἀδημονοῦντα καὶ λυπούμενον. ‖ Ἀλλ' ὁ Θεὸς ἀπαθὴς ὢν καὶ ἀναλλοίωτος οὔτε λυπεῖται f 268v οὔτε ἀδημονεῖ. Πῶς γέγραπται ἐν εὐαγγελίοις, ἐν μὲν τῷ κατὰ Ἰωάννην «τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν»· καὶ πάλιν «οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰου-

**6) ἐν τῇ φα : κατὰ Ἀρείου καὶ Ἀπολιναρίου 8) Ματθ. 2,21 9) Ἰωάν. 12, 27 10) Μάρκ. 14, 34 12) Λουκ. 23, 46 14) Ἰωάν. 10, 18 18) Πράξ. 2, 27 20) σχόλιον ἐν τῷ περιθωρίῳ : φθορά ἐστι κατὰ τοὺς ἁγίους Πατέρας τὰ σωματικὰ πάθη καὶ ὁ θάνατος, διαφθορὰ δὲ ἡ ἐν τῷ μνήματι τοῦ σώματος σῆψις, καταφθορὰ δὲ ὁ παντελὴς τούτου ἀφανισμὸς 23) ἐν τῇ φα : κατὰ Ἀπολιναρίου 28) ἐν τῇ φα : περὶ ἀνθρωπείου θελήματος 30) Ἰωάν. 1, 44 31) Ἰωάν. 7, 1**

**16) ἄλλον παραθήκη B.**

Ε.Υ.Δ.Τ.Φ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δαῖοι ἀποκτεῖναι»· ἐν δὲ τῷ κατὰ Μᾶρκον, «καὶ εἰσελθὼν εἰς οἰκίαν οὐδένα ἤθελε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν». Ἆρα ὡς Θεὸς ἤθελεν ἐξελθεῖν ἢ ἐδειλία ἢ μὴ γνωσθῆναι ἐν ἑτέρῳ, ὅπερ οὐδὲ ἀπέβη κατὰ τὸ αὐτῷ θελητόν; Ἀλλ' ὁ Θεὸς οὔτε μεταβαίνει, οὔτε δειλιᾷ, οὔτε θέλων ἀδυνατεῖ. Τί δὲ ὡς ἄλογος ἤθελεν; Ἀλλὰ τὸ ἄλογον ἀμέτοχον θελήσεως. Θέλημα γὰρ ὁριζόμενοι φαμὲν εἶναι ὄρεξιν λογικήν. Οὐδεὶς γὰρ θέλει μὴ προαιρούμενος, καὶ οὐδεὶς προαιρεῖται μὴ κρίνας, καὶ οὐδεὶς κρίνει μὴ βουλευσάμενος, καὶ οὐδεὶς βουλεύεται μὴ σκεψάμενος, καὶ οὐδεὶς σκέπτεται μὴ ζητήσας, καὶ οὐδεὶς ζητεῖ μὴ βουληθείς, καὶ οὐδεὶς βούλεται μὴ λογισάμενος, καὶ οὐδεὶς λογίζεται μὴ ὢν φύσει λογικός. Ψυχὴν ἄρα ἔχει ὁ Χριστὸς νοεράν, ἤγουν λογικὴν καὶ αὐτεξούσιον. Τὸ δὲ εἰπεῖν τὸν Εὐαγγελιστήν, ὅτι «ὁ Λόγος σὰρξ ἐγένετο», κατὰ συνεκδοχὴν τοῦτο εἰρηκέναι φαμέν, ἤτοι ἀπὸ μέρους τὸ ὅλον τῇ λέξει συμπαραλαβεῖν· ὡς καὶ ἐν τῇ Γενέσει γέγραπται. «Πᾶσαι δὲ ψυχαὶ αἱ εἰσελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον, οἱ ἐξελ-
f 269r θόντες ἐκ τῶν μηρῶν αὐτοῦ χωρὶς τῶν γυναικῶν || υἱῶν Ἰακώβ, πᾶσαι αἱ ψυχαὶ ἑξήκοντα ἕξ· υἱοὶ δὲ Ἰωσὴφ οἱ γενόμενοι αὐτῷ ἐν Αἰγύπτῳ ψυχαὶ ἐννέα. Πᾶσαι ψυχαὶ οἴκου Ἰακώβ, αἱ εἰσελθοῦσαι εἰς Αἴγυπτον ἑβδομήκοντα πέντε». Μὴ γὰρ ψυχὰς ἀσάρκους ἐγέννησεν Ἰακὼβ μεθ' ὧν εἰς Αἴγυπτον ἦλθεν; Καὶ ἐν Ἰωήλ, «ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα», ἤγουν ἄνθρωπον. Ὅτι δὲ τὸν ἄνθρωπον σάρκα ἐκάλεσε, δηλοῖ τὸ ἐπαγόμενον «καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν» καὶ τὰ ἑξῆς. Καθ' ἃ δὴ καὶ ὁ Χριστὸς φησίν· «εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι οὐκ ἂν ἐσώθη πᾶσα σάρξ». Τὸν αὐτὸν τρόπον καὶ Δαυὶδ περὶ τῶν ἐχθρωδῶς διακειμένων πρὸς αὐτὸν φησίν, «τί ποιήσει μοι σάρξ», ἤγουν ἄνθρωπος, ὡς ἐν αὐτῷ τῷ ψαλμῷ ἐκ τῶν προηγουμένων τε καὶ ἑπομένων ἔστιν ἐπιγνῶναι μάλα σαφῶς. Ἐν ἑτέρῳ δὲ πάντα παρείς, χοῦν ἁπλῶς ὀνομάζει τὸν ἄνθρωπον λέγων «ἐμνήσθη ὅτι χοῦς ἐσμέν».

Ὅτι δὲ οὐδὲ κατὰ δόκησιν ἢ φαντασίαν ἡ πρὸς ἡμᾶς αὐτοῦ παρουσία γέγονε καὶ ἡ ἔνσαρκος οἰκονομία, οὐδὲ ἡ ἀνθρωπότης μετεβλήθη εἰς τὴν θείαν φύσιν, βούλεται νῦν ὁ λόγος ἀποδεῖξαι, καίτοι
f 269v γε ἤρκει τὰ || προλεχθέντα τοῖς μὴ πάντη πρὸς ταῦτα μυωπάζειν ἐθέλουσιν. Ἀλλ' ἵνα διαμπὰξ ἀφ' ἡμῶν τοὺς μακελλικοὺς κύνας ἀποδιώξωμεν, τούτοις καὶ ἕτερα δή τινα προσθήσωμεν. Ἀλλ' ὅτι μὲν οὐ κατὰ

1) Μάρκ. 7, 24 11) ἐν τῇ ᾠᾷ: κατὰ Ἀρείου καὶ Ἀπολιναρίου 15) Γεν. 46,26. 20) Ἰωλ. 2, 28 24) Ματθ. 24, 22 26) Ψαλμ. 55, 4 29) Ψαλμ. 102,14
35) ἐν τῇ ᾠᾷ: κατὰ Ἀρμενίων.

Ε.Υ.Δ.Ε.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φαντασίαν καὶ δόκησιν ἡ ἐνανθρώπησις, δῆλον ἐξ ὧν διέρχεται Ματθαῖος περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου τοῦ Ἰησοῦ, ὧν τε οἱ μαθηταὶ περὶ αὐτοῦ ἐνόμισαν, καὶ ὧν αὐτὸς τούτοις ἀπάμειπτο. Λέγει γοῦν. «Τετάρτῃ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα ἐταράχθησαν λέγοντες ὅτι φάντασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν». Ἴδε τοιγαροῦν, ὦ φαντασιοσκόπε, πῶς τὴν σὴν δόξαν ἐνταῦθ' ἀναιρεῖ. Οἱ γὰρ μαθηταὶ ἰδόντες τὸν θεάνθρωπον Ἰησοῦν ἐπὶ τῆς θαλάσσης παραδόξως περιπατοῦντα ἐν σώματι οὐκ ἐνόμισαν ἄνθρωπον ὁρᾶν, ἀλλὰ φάντασμα κατὰ σέ. Διὰ τοῦτο καὶ ἐταράχθησαν, ἄνθρωπον μὲν ὁρῶντες, μὴ ποντιζόμενον δέ. Οὐδὲ γὰρ ἐμνημόνευον τῶν προλαβόντων θαυμάτων. Ὅθεν καὶ ἐκ τῆς πολλῆς καταπλήξεως καὶ τοῦ περισχόντος αὐτοὺς θάμβους ἔκραξαν. Τί οὖν ὁ Κύριος; || διαλύων τὴν ὑπόνοιαν, δι' ἣν καὶ ἐφοβήθησαν, φησί· «θαρ- f 270r
σεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε». Ὡσανεὶ ἔλεγεν, ἐγὼ εἰμὶ κατὰ ἀλήθειαν ὁ χθὲς καὶ πρότριτα καὶ καθ' ἑκάστην ὑμῖν ὁμιλῶν, οὐ κατὰ φαντασίαν ὡς ὑμεῖς ὑπολαβόντες ἐφοβήθητε. Ὁ δὲ Πέτρος, ἅτε τῶν ἄλλων θερμότερος καὶ ἔτι πειράσαι βουλόμενος μήπως ὑποκρίνεται τὸν Ἰησοῦν ὁ φανείς, φησί. «Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα». Ταῦτα καὶ Μάρκος διηγεῖται καὶ Ἰωάννης. Εἰ δὲ οὐκ ἀρκεῖ σοι ταῦτα εἰς πληροφορίαν, ἄκουσον αὐτοῦ τοῦ Ἰωάννου συμπαρόντος πάντοτε τῷ Χριστῷ καὶ οὐδ' ἀπ' αὐτῆς τῆς σταυρώσεως ἀπολειφθέντος, ὃς καὶ πάντα τὰ ἐπ' αὐτῷ γενόμενα τῷ τότε ἀκριβῶς συνεγράψατο. Τοίνυν καὶ μετὰ τὸ νυγῆναι τὴν πλευρὰν τῇ λόγχῃ φησί. «Καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκεν καὶ ἀληθινὴ ἐστιν ἡ μαρτυρία αὐτοῦ». Τίνος χάριν, εἰπέ μοι, ἀληθινὴν τὴν μαρτυρίαν ἐκάλεσεν, εἰ μὴ τῷ θείῳ Πνεύματι ἐλλαμπόμενος προειδώς, ὡς ἔοικε, τὴν σὴν σκαιότητα ἐναντίως τοῦ κατὰ φαντασίαν τοῦτο ἐπήνεγκε; Διά τοι τοῦτο καὶ μετὰ τὴν ἀνάστασιν || ὀφθεὶς ὁ Χριστὸς f 270v
εἰς πίστωσιν νενυγμένην τὴν πλευρὰν ἔδειξε, καὶ ἐνώπιον τῶν μαθητῶν ἔφαγεν, οὐχ' ὅτι μετὰ τὴν ἀνάστασιν τοῖς αὐτοῖς ὑπέκειτο πάθεσιν, ἀλλ' οἰκονομικῶς, ἵνα μὴ φάντασμα δόξῃ τὸ φαινόμενον. Κατ' ἀλήθειαν μέντοι καὶ ἡ πλευρὰ ἀνεῳγμένη εὑρέθη καὶ βρώσεως ἥψατο· ἀλλ' οὔθ' ἡ πλευρὰ οὕτω μετὰ ταῦτα ἀνεῳγμένη ἔμεινεν, οὔτε τὰ βρώματα ὅλως ἐπέφθησαν, ὡς πρὸ τοῦ πάθους· ἀνηλώθησαν δέ τινι ἀπορρήτῳ ἐνεργείᾳ ἐν τῷ στομάχῳ, ὥς ποτε καὶ ἐν τῇ σκηνῇ τοῦ Ἀβραὰμ

**4) Ματθ. 14, 25. 14) αὐτ. 27. 19) αὐτ. 28. 25) Ἰωάν. 19, 35.**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006